Θησεύς. πάλιν δὲ τῶνδ᾽ ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνης τε παῖς,
κείνη δὲ Πέλοπος θυγατρός· αὐτανεψίω
πατὴρ ἂν εἴη σός τε καὶ τούτων γεγώς.
γένους μὲν ἥκεις ὧδε τοῖςδε, Δημοφῶν·
ἃ δ᾽ ἐκτὸς ἤδη τοῦ προςήκοντός σε δεῖ
τῖσαι λέγω σοι παισί· φημὶ γάρ ποτε
σύμπλους γενέσθαι τῶνδ᾽ ὑπασπίζων πατρί,
ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
Ἅιδου τ᾽ ἐρεμνῶν ἐξανήγαγεν μυχῶν
πατέρα σόν· Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
ὧν ἀντιδοῦναί σ᾽ οἵδ᾽ ἀπαιτοῦσιν χάριν,
μήτ᾽ ἐκδοθῆναι μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες ἐκπεσεῖν χθονός.
σοὶ γὰρ τόδ᾽ αἰσχρόν, χωρὶς ἐν πόλει κακόν,
ἱκέτας ἀλήτας συγγενεῖς, οἴμοι κακῶν,
βλέψον πρὸς αὐτοὺς βλέψον, ἕλκεσθαι βίᾳ.
ἀλλ᾽ ἄντομαί σε, καὶ καταστέφω, χεροῖν
καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
τοὺς Ἡρακλείους παῖδας ἐς χέρας λαβών.
γενοῦ δὲ τοῖςδε συγγενής, γενοῦ φίλος,
πατήρ, ἀδελφός, δεσπότης· ἅπαντα γὰρ
ταῦτ᾽ ἐστὶ κρείσσω πλὴν ὑπ᾽ Ἀργείοις πεσεῖν.

ΧΟΡΟΣ.

ᾤκτειρ᾽ ἀκούσας τούςδε συμφορᾶς, ἄναξ.
τὴν δ᾽ εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ᾽ ἐςεῖδον· οἵδε γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες δυςτυχοῦσ᾽ ἀναξίως.

ΔΗΜΟΦΩΝ.

τρισσαί μ᾽ ἀναγκάζουσι συμφορᾶς ὁδοί,
Ἰόλαε, τούςδε μὴ παρώσασθαι ξένους·
τὸ μὲν μέγιστον Ζεύς, ἐφ᾽ οὗ σὺ βώμιος
θακεῖς νεοσσῶν τήνδ᾽ ἔχων πανήγυριν,
τὸ συγγενές τε καὶ τὸ προὐφείλειν καλῶς
πράσσειν παρ᾽ ἡμῶν τούςδε πατρῴαν χάριν,
τό τ᾽ αἰσχρόν, οὗπερ δεῖ μάλιστα φροντίσαι·
εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ